ταγμα ἕως τῆς ἡμέρας ταύτης ἐπὶ γῆν Αἰγύπτου τῷ Φαραω
ἀποπεμπτοῦν, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἦν τῷ
Φαραω.
27 [27] Κατῴκησεν δὲ Ισραηλ ἐν γῇ Αἰγύπτῳ ἐπὶ τῆς γῆς Γεσεμ καὶ
ἐκληρονόμησαν ἐπ᾽ αὐτῆς καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφό-
28 δρα. — [28] ἐπέζησεν δὲ Ιακωβ ἐν γῇ Αἰγύπτῳ δέκα ἑπτὰ ἔτη· ἐγέ-
νοντο δὲ αἱ ἡμέραι Ιακωβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ ἑκατὸν τεσ-
29 σαράκοντα ἑπτὰ ἔτη. [29] ἤγγισαν δὲ αἱ ἡμέραι Ισραηλ τοῦ ἀποθα-
νεῖν, καὶ ἐκάλεσεν τὸν υἱὸν αὐτοῦ Ιωσηφ καὶ εἶπεν αὐτῷ Εἰ εὕ-
ρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν
μου καὶ ποιήσεις ἐπ᾽ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν τοῦ μή με
30 θάψαι ἐν Αἰγύπτῳ, [30] ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου,
καὶ ἀρεῖς με ἐξ Αἰγύπτου καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ
31 εἶπεν Ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου. [31] εἶπεν δέ Ὄμοσόν μοι.
καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ισραηλ ἐπὶ τὸ ἄκρον τῆς
ῥάβδου αὐτοῦ.
48 [1] Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀπηγγέλη τῷ Ιωσηφ
ὅτι Ὁ πατήρ σου ἐνοχλεῖται. καὶ ἀναλαβὼν τοὺς δύο υἱοὺς αὐ-
2 τοῦ, τὸν Μανασση καὶ τὸν Εφραιμ, ἦλθεν πρὸς Ιακωβ. [2] ἀπηγγέλη
δὲ τῷ Ιακωβ λέγοντες Ἰδοὺ ὁ υἱός σου Ιωσηφ ἔρχεται πρὸς σέ.
3 καὶ ἐνισχύσας Ισραηλ ἐκάθισεν ἐπὶ τὴν κλίνην. [3] καὶ εἶπεν Ιακωβ
τῷ Ιωσηφ Ὁ θεός μου ὤφθη μοι ἐν Λουζα ἐν γῇ Χανααν καὶ
4 εὐλόγησέν με [4] καὶ εἶπέν μοι Ἰδοὺ ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ
σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν καὶ δώσω σοι τὴν γῆν
ταύτην καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον.
5 [5] νῦν οὖν οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ πρὸ τοῦ
με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον ἐμοί εἰσιν, Εφραιμ καὶ Μανασση
6 ὡς Ρουβην καὶ Συμεων ἔσονταί μοι· [6] τὰ δὲ ἔκγονα, ἃ ἐὰν γεννήσῃς
μετὰ ταῦτα, σοὶ ἔσονται, ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν
7 κληθήσονται ἐν τοῖς ἐκείνων κλήροις. [7] ἐγὼ δὲ ἡνίκα ἠρχόμην ἐκ
Μεσοποταμίας τῆς Συρίας, ἀπέθανεν Ραχηλ ἡ μήτηρ σου ἐν γῇ
Χανααν ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον χαβραθα τῆς γῆς τοῦ
ἐλθεῖν Εφραθα, καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου
8 (αὕτη ἐστὶν Βαιθλεεμ). — [8] ἰδὼν δὲ Ισραηλ τοὺς υἱοὺς Ιωσηφ

26 γην] γης A | τω φαρ. / αποπεμπτουν] tr. A | μονων A || 27 γη > A | της B*] > ABc | εκληρονομηθησαν A | και ηυξηθησαν > B*† || 28 δεκα επτα ετη] ετη δ. επτα ετη B*† (Bc om. ετη posterius) | εγενοντο δε] και εγ. A || 29 του $1^0$ > B† | με θαψαι] tr. A

48 1 και $1^0$ > B† | ανηγγελη A | αυτου] + μετ αυτου A (in O sub ※) || 3 ο θ. μου / ωφθη μοι] tr. B*† | εν λουζα / εν γη χαν.] tr. A† || 4 αυξανω σε] tr. B | σε $2^0$ > B || 5 αιγυπτω] pr. γη A | προς σε / εις αιγ.] tr. B | συμεων] pr. ως A || 6 εαν M] δ αν B†, αν A | σοι > B† | εν] επι B† || 7 βαιθλεεμ Ra.] βεθ. B†, βηθ. A: cf. Ruth 1 1

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/132 UNIVERSITÄT LEIPZIG